ἀντικάθηται, ἐναντιοῦται· ἀνεθέμην, ἀνεκοινωσάμην· ἀνέσεις, συγχωρήσεις.
ἀνηρτήθη, ἐξεκρεμάσθη· ἀνήρετο, ἠρώτα· ἀνθομολογησώμεθα, εὐχαριστήσωμεν·
ἀνηρειψάμενος, ἀναλαβόμενος, ἑλόμενος· ἄνω, πολλάκις· ἀναγινωσκόμενοι,
μνημονευόμενοι, ὀνομαζόμενοι· καὶ ὁ ἀπόστολος τῶν αὐτοῦ ποιεῖται τὸ μάλιστα
καὶ μνήμην· ἀνακεφαλαιώσασθαι, συνάψαι, ἑνῶσαι· ἀνακε-
φαλαιώσασθαι τὰ πάντα ἐν Χριστῷ· ἀναμίξ, ἀναμεμιγμένως.
ἀναφανδόν, φανερῶς· ἀναλόγως, ὁμοίως· ἀνέδην, φανερῶς·
ἀνέκαθεν, ἐκ πολλῶν χρόνων, ἢ ἀπ' ἀρχῆς· ἀνενδοιάστως, ἀδιστάκτως·
ἀνόμως, παρὰ τὸ ἀπὸ νόμου χωρὶς τῶν κατακρίσεων· ὅσοι γὰρ ἀνόμως
ἥμαρτον ἀνόμως καὶ ἀπολοῦνται· ἀξιοῦμαι, ἱκετεύω, καὶ ὁ δεῖνα φησίν,
εἰσέλθοι τὸ ἀξίωμα ἐνώπιον σου· ἄξιον, δίκαιον· ἀξιῶ, ἱκετεύω·
ἀξιοζήλως, ἐπαινετῶς· ὄζος, ὁ κλάδος· ἄορνος, πέτρα ἐν τῇ
ἰνδικῇ ἐν ᾗ οὐ καθίζει ὄρνις, διὰ τὸ εἶναι αὐτὴν ὑπερύψηλον.
ἀόριστον, ὅρῳ μὴ ὑποβεβλημένον καὶ κατεχόμενον· οἷον τὸ κατὰ τοῦ θεοῦ
τὸ μέγεθος ἄκτιστον· ἄπειρος, ὁ ἀμαθής· ἁπλοῦς, ὁ μηδενὶ μετὰ
τινὸς ἐξ ἑαυτοῦ ἀλλοιούμενος· ἀπήμονα, ἀβλαβῆ· ἀπόφοιτος, ὁ παρὰ ὑπο-
στρατικῶν· ἀπρόσμαχοι, ἀκαταγώνιστοι· ἄποικοι, οἱ ἐν ἐρήμῳ τόπῳ·
ἔποικοι δέ, οἱ ἐν πόλει· ἀποτρόπαιος, φευκτὸς μισητός·
ἀπόφανσις, λόγος ἐν ᾧ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ὑπάρχει· ἢ λόγος ἀ-
ποφαντικός τινος ἀπό τινος ἢ κατά τινος τὰς φάσεις· οἷον ὁ πο-
ταμὸς οὐκ ἔρχεται, ὁ δὲ ἄρχων ἔρχεται· ἢ λόγος σημαντικὸς τοῦ ὑπάρχειν τί
τινι ἢ μὴ ὑπάρχειν, δηλοῖ τὴν κατάφασιν· τὸ δὲ τί τινι μὴ ὑπάρχειν
σημαίνει τὴν ἀπόφασιν.

http://digital.slub-dresden.de/ppn346351804/23